δὲ ὁ Μαρδοχαῖος εἰς τὴν αὐλήν, Αμαν δὲ ὑπέστρεψεν εἰς τὰ ἴδια
λυπούμενος κατὰ κεφαλῆς. [13]καὶ διηγήσατο Αμαν τὰ συμβεβηκότα 13
αὐτῷ Ζωσαρα τῇ γυναικὶ αὐτοῦ καὶ τοῖς φίλοις, καὶ εἶπαν πρὸς
αὐτὸν οἱ φίλοι καὶ ἡ γυνή Εἰ ἐκ γένους Ιουδαίων Μαρδοχαῖος, ἦρξαι
ταπεινοῦσθαι ἐνώπιον αὐτοῦ, πεσὼν πεσῇ· οὐ μὴ δύνῃ αὐτὸν ἀμύ-
νασθαι, ὅτι θεὸς ζῶν μετ᾽ αὐτοῦ. — [14]ἔτι αὐτῶν λαλούντων παρα- 14
γίνονται οἱ εὐνοῦχοι ἐπισπεύδοντες τὸν Αμαν ἐπὶ τὸν πότον, ὃν
ἡτοίμασεν Εσθηρ.
[1]Εἰσῆλθεν δὲ ὁ βασιλεὺς καὶ Αμαν συμπιεῖν τῇ βασιλίσσῃ. [2]εἶπεν 7
δὲ ὁ βασιλεὺς Εσθηρ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν τῷ πότῳ Τί ἐστιν,
Εσθηρ βασίλισσα, καὶ τί τὸ αἴτημά σου καὶ τί τὸ ἀξίωμά σου; καὶ
ἔστω σοι ἕως τοῦ ἡμίσους τῆς βασιλείας μου. [3]καὶ ἀποκριθεῖσα 3
εἶπεν Εἰ εὗρον χάριν ἐνώπιον τοῦ βασιλέως, δοθήτω ἡ ψυχή μου
τῷ αἰτήματί μου καὶ ὁ λαός μου τῷ ἀξιώματί μου· [4]ἐπράθημεν 4
γὰρ ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπώλειαν καὶ διαρπαγὴν καὶ δου-
λείαν, ἡμεῖς καὶ τὰ τέκνα ἡμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ παρ-
ήκουσα· οὐ γὰρ ἄξιος ὁ διάβολος τῆς αὐλῆς τοῦ βασιλέως. [5]εἶπεν 5
δὲ ὁ βασιλεύς Τίς οὗτος, ὅστις ἐτόλμησεν ποιῆσαι τὸ πρᾶγμα τοῦτο;
[6]εἶπεν δὲ Εσθηρ Ἄνθρωπος ἐχθρὸς Αμαν ὁ πονηρὸς οὗτος. Αμαν 6
δὲ ἐταράχθη ἀπὸ τοῦ βασιλέως καὶ τῆς βασιλίσσης. [7]ὁ δὲ βασιλεὺς 7
ἐξανέστη ἐκ τοῦ συμποσίου εἰς τὸν κῆπον· ὁ δὲ Αμαν παρῃτεῖτο
τὴν βασίλισσαν, ἑώρα γὰρ ἑαυτὸν ἐν κακοῖς ὄντα. [8]ἐπέστρεψεν δὲ 8
ὁ βασιλεὺς ἐκ τοῦ κήπου, Αμαν δὲ ἐπιπεπτώκει ἐπὶ τὴν κλίνην

12 αυλην] + του βασιλεως O† | κατα κεφ.] ⟨και⟩ κατακεκαλυμμενος κεφαλην Sc: sim. 58 93 || 13 αμαν τα συμβ. αυτω] απαντα τα συμβ. αυτω αμαν S† | σωσαρα A†: cf. 5 10 | φιλοι] + αυτου O† | η γυνη] + αυτου ζωσαρα Sc†; add. αυτου 58 93† et pr. ζωρα 93† (sic) | ηρξαι] οὐ ηρξω O(†) | θεος ζων] ο θ. ο ζ. A(†) || 14 λαλουντων] + μετ αυτου O | ευνουχοι] + του βασιλεως O | επισπευδ.] + αγαγειν Sc†: sim. 58 93†

7 1 τη βασ.] pr. τη εσθηρ 93†, + εσθηρ O-93† || 2 ειπεν δε] και ει. A† | εσθηρ 1⁰ > A† | τη] pr. και γε O-58† | ποτω] + του οινου O† | τι εστιν — αιτημα σου] το αιτημα σου εσθηρ η βασιλισσα και δοθησεται σοι 58 93†, + και δοθησεται σοι Sc† | βασιλισσα] pr. η A(etiam 58 93, cf. sup.)† | εστω] εσται A || 3 αποκριθεισα] + εσθηρ η βασιλισσα O† | βασιλεως] + και ει(58 γε) επι τον βασιλεα αγαθον O† | δοθητω] + μοι O† | μου 1⁰ O] > BSA | αιτηματι] αιματι S | λαος O†] λογος rel. | μου paenult. > SA || 4 και διαρπ. > A | παιδισκας] + επραθημεν O† || 5 βασιλευς] + αρταξερξης τη εσθηρ τη βασιλισση Sc†: sim. 58 93† | τις ουτος] + εστιν S(†), τις εστιν ουτος και ποιος εστιν (ουτος) 58 93†, + εστιν και ποιος εστιν ουτος Sc† | οστις] ος S || 6 εχθρος] pr. επιβουλος και O† || 7 εξανεστη] + εν οργη αυτου O† | εκ] απο B: cf. 8 | κηπον] + τον συμφυτον O† | παρητειτο] εξανεστη και παρητ. περι της ψυχης αυτου O(†) | την βασιλισσαν] pr. εσθηρ 58 93†, + εσθηρ Sc† | οντα] παρα του βασιλεως O† || 8 εκ] απο A†: cf. 7 | κηπου] + του συμφυτου εις τον οικον του ποτου του οινου O-93†: sim. 93† | επιπεπτ. (cf. Thack. p. 197)] + και επεσεν A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1017 UNIVERSITÄT LEIPZIG